Λαβαν πάντας τοὺς ἄνδρας τοῦ τόπου καὶ ἐποίησεν γάμον. [23]καὶ 23
ἐγένετο ἑσπέρα, καὶ λαβὼν Λαβαν Λειαν τὴν θυγατέρα αὐτοῦ εἰσή-
γαγεν αὐτὴν πρὸς Ιακωβ, καὶ εἰσῆλθεν πρὸς αὐτὴν Ιακωβ. [24]ἔδωκεν 24
δὲ Λαβαν Λεια τῇ θυγατρὶ αὐτοῦ Ζελφαν τὴν παιδίσκην αὐτοῦ
αὐτῇ παιδίσκην. [25]ἐγένετο δὲ πρωί, καὶ ἰδοὺ ἦν Λεια. εἶπεν δὲ 25
Ιακωβ τῷ Λαβαν Τί τοῦτο ἐποίησάς μοι; οὐ περὶ Ραχηλ ἐδού-
λευσα παρὰ σοί; καὶ ἵνα τί παρελογίσω με; [26]εἶπεν δὲ Λαβαν 26
Οὐκ ἔστιν οὕτως ἐν τῷ τόπῳ ἡμῶν, δοῦναι τὴν νεωτέραν πρὶν
ἢ τὴν πρεσβυτέραν· [27]συντέλεσον οὖν τὰ ἕβδομα ταύτης, καὶ δώσω 27
σοι καὶ ταύτην ἀντὶ τῆς ἐργασίας, ἧς ἐργᾷ παρ᾽ ἐμοὶ ἔτι ἑπτὰ ἔτη
ἕτερα. [28]ἐποίησεν δὲ Ιακωβ οὕτως καὶ ἀνεπλήρωσεν τὰ ἕβδομα 28
ταύτης, καὶ ἔδωκεν αὐτῷ Λαβαν Ραχηλ τὴν θυγατέρα αὐτοῦ αὐτῷ
γυναῖκα. [29]ἔδωκεν δὲ Λαβαν Ραχηλ τῇ θυγατρὶ αὐτοῦ Βαλλαν τὴν 29
παιδίσκην αὐτοῦ αὐτῇ παιδίσκην. [30]καὶ εἰσῆλθεν πρὸς Ραχηλ· ἠγά- 30
πησεν δὲ Ραχηλ μᾶλλον ἢ Λειαν· καὶ ἐδούλευσεν αὐτῷ ἑπτὰ ἔτη ἕτερα.
[31]Ἰδὼν δὲ κύριος ὅτι μισεῖται Λεια, ἤνοιξεν τὴν μήτραν αὐτῆς· 31
Ραχηλ δὲ ἦν στεῖρα. [32]καὶ συνέλαβεν Λεια καὶ ἔτεκεν υἱὸν τῷ 32
Ιακωβ· ἐκάλεσεν δὲ τὸ ὄνομα αὐτοῦ Ρουβην λέγουσα Διότι εἶδέν
μου κύριος τὴν ταπείνωσιν· νῦν με ἀγαπήσει ὁ ἀνήρ μου. [33]καὶ 33
συνέλαβεν πάλιν Λεια καὶ ἔτεκεν υἱὸν δεύτερον τῷ Ιακωβ καὶ
εἶπεν Ὅτι ἤκουσεν κύριος ὅτι μισοῦμαι, καὶ προσέδωκέν μοι καὶ
τοῦτον· ἐκάλεσεν δὲ τὸ ὄνομα αὐτοῦ Συμεων. [34]καὶ συνέλαβεν 34
ἔτι καὶ ἔτεκεν υἱὸν καὶ εἶπεν Ἐν τῷ νῦν καιρῷ πρὸς ἐμοῦ ἔσται
ὁ ἀνήρ μου, ἔτεκον γὰρ αὐτῷ τρεῖς υἱούς· διὰ τοῦτο ἐκάλεσεν
τὸ ὄνομα αὐτοῦ Λευι. [35]καὶ συλλαβοῦσα ἔτι ἔτεκεν υἱὸν καὶ εἶπεν 35
Νῦν ἔτι τοῦτο ἐξομολογήσομαι κυρίῳ· διὰ τοῦτο ἐκάλεσεν τὸ
ὄνομα αὐτοῦ Ιουδα. καὶ ἔστη τοῦ τίκτειν.
[1]Ἰδοῦσα δὲ Ραχηλ ὅτι οὐ τέτοκεν τῷ Ιακωβ, καὶ ἐζήλωσεν Ραχηλ 30
τὴν ἀδελφὴν αὐτῆς καὶ εἶπεν τῷ Ιακωβ Δός μοι τέκνα· εἰ δὲ μή,
τελευτήσω ἐγώ. [2]ἐθυμώθη δὲ Ιακωβ τῇ Ραχηλ καὶ εἶπεν αὐτῇ 2
Μὴ ἀντὶ θεοῦ ἐγώ εἰμι, ὃς ἐστέρησέν σε καρπὸν κοιλίας; [3]εἶπεν 3
δὲ Ραχηλ τῷ Ιακωβ Ἰδοὺ ἡ παιδίσκη μου Βαλλα· εἴσελθε πρὸς
αὐτήν, καὶ τέξεται ἐπὶ τῶν γονάτων μου, καὶ τεκνοποιήσομαι κἀγὼ
ἐξ αὐτῆς. [4]καὶ ἔδωκεν αὐτῷ Βαλλαν τὴν παιδίσκην αὐτῆς αὐτῷ 4
γυναῖκα· εἰσῆλθεν δὲ πρὸς αὐτὴν Ιακωβ. [5]καὶ συνέλαβεν Βαλλα 5
ἡ παιδίσκη Ραχηλ καὶ ἔτεκεν τῷ Ιακωβ υἱόν. [6]καὶ εἶπεν Ραχηλ 6

23 λαβαν M] > A || 24 λεια τη θυγ. αυτου / ζελφαν 911] tr. A || 25 τω > A† | παρα 911] > A || 28 αυτω 1⁰ M] > A || 31 κυριος 911] + ο θεος A || 32 με αγαπ. 911] tr. A || 33 εκαλεσεν δε 911] και εκαλ. A || 34 ετεκον 911] τετοκα A | εκληθη A†

30 2 θεου 911] pr. του A || 3 και τεκνοποιησομαι] ινα -σωμαι A† || 4 εισηλθεν δε 911] και εισ. A